# Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: fua-aa

*Ἀριστοφῶν ὁ κωμικός* · Aristophon the Comic Poet

# Fragments on Poverty and Satire

*Ἀποσπάσματα περὶ Πενίας καὶ Σάτιρας*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἀττική* Attic (com, frg)
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1.1 σαφὴς ὁ χειμών ἐστι τῆς
book 1.2 πενίας λύχνος· ἅπαντα
book 1.3 φαίνει τὰ κακὰ καὶ τὰ δυσχερῆ.
book 2.1 ἔπειθ’ ἡπάτια καὶ νῆστίν
book 2.2 τινα
book 2.3 προσέθηκεν, οἶμαι, πεντέχαλκον
book 2.4 προσλαβών.
book 3.1 αἱ τῶν ἑταιρῶν γὰρ διοπετεῖς οἰκίαι· γεγόνασιν ἄβατοι
book 3.2 τοῖς ἔχουσι μηδὲ ἕν.
book 4.1 βούλομαι δ’ αὐτῷ προειπεῖν οἷός εἰμι
book 4.2 τοὺς
book 4.3 τρόπους. ἄν
book 4.4 τις ἑστιᾷ, πάρειμι
book 4.5 πρῶτος, ὥστ’ ἤδη πάλαι . . . ζωμὸς καλοῦμαι. δεῖ τιν’ ἄρασθαι μέσον τῶν
book 4.6 παροινούντων, παλαιστὴν νόμισον Ἀργεῖόν μ’ ὁρᾶν.[ln_5]προσβαλεῖν
book 4.7 πρὸς οἰκίαν δεῖ, κριός· ἀναβῆναί τι
book 4.8 πρὸς κλιμάκιον . . Καπανεύς, ὑπομένειν
book 4.9 πληγὰς ἄκμων, κονδύλους
book 4.10 πλάττειν δὲ Τελαμών, τοὺς καλοὺς
book 4.11 πειρᾶν καπνός.
book 5.1 κακὸς κακῶς γένοιθ’ ὁ γήμας δεύτερος θνητῶν· ὁ μὲν γὰρ
book 5.2 πρῶτος οὐδὲν ἠδίκει· οὔπω γὰρ εἰδὼς οὗτος οἷον ἦν κακὸν ἐλάμβανεν γυναῖχ’· ὁ δ’ ὕστερον λαβὼν[ln_5]εἰς
book 5.3 προὖπτον εἰδὼς αὑτὸν ἐνέβαλεν κακόν.
book 6.1 αἰσχρὸν γενέσθαι

book 6.2 πτωχὸν ἀσθενῆ θ’ ἅμα.

book 7.1 [spk_β]καὶ μὴν διέφθαρταί γε

book 7.2 τοὔψον

book 7.3 παντελῶς· κλεῖδες μὲν ὀπταὶ δύο

book 7.4 παρεσκευασμέναι. Β. αἷς τὰς θύρας κλείουσι; Α. θύννου μὲν οὖν. Β. σεμνὸν τὸ βρῶμα. Γ. καὶ τρίτη Λακωνική.

book 8.1 [spk_β]ἐν ἡμέραις

book 8.2 τρισὶν ἰσχνότερον αὐτὸν ἀποφανῶ Φιλιππίδου. Β. οὕτως ἐν ἡμέραις ὀλίγαις νεκροὺς

book 8.3 ποιεῖς;

book 9.1 πρὸς τῶν θεῶν οἰόμεθα, τοὺς πάλαι

book 9.2 ποτὲ τοὺς

book 9.3 Πυθαγοριστὰς γινομένους οὕτως ῥυπᾶν ἑκόντας, ἢ φορεῖν

book 9.4 τρίβωνας ἡδέως; οὐκ ἔστι

book 9.5 τούτων οὐδέν, ὡς ἐμοὶ δοκεῖ·ἀλλ’ ἐξ ἀνάγκης, οὐκ ἔχοντες οὐδὲ ἕν, τῆς εὐτελείας

book 9.6 πρόφασιν εὑρόντες καλὴν ὅρους ἔπηξαν

book 9.7 τοῖς πένησι

book 9.8 χρησίμους. ἐπεὶ παράθες αὐτοῖσιν ἰχθῦς ἢ κρέας, κἂν μὴ κατεσθίωσι καὶ τοὺς δακτύλους, ἐθέλω κρέμασθαι δεκάκις.

book 10.1 πρὸς μὲν τὸ πεινῆν ἐσθίειν

book 10.2 τε μηδὲ ἓν νόμιζ’ ὁρᾶν

book 10.3 Τιθύμαλλον ἢ Φιλιππίδην. ὕδωρ δὲ πίνειν βάτραχος, ἀπολαῦσαι θύμων λαχάνων

book 10.4 τε κάμπη, πρὸς τὸ μὴ λοῦσθαι ῥύπος,ὑπαίθριος

book 10.5 χειμῶνα διάγειν κόψιχος, πνῖγος ὑπομεῖναι καὶ μεσημβρίας λαλεῖν τέττιξ, ἐλαίῳ μήτε

book 10.6 χρῆσθαι μήθ’ ὁρᾶν κονιορτός, ἀνυπόδητος ὄρθρου

book 10.7 περιπατεῖν γέρανος, καθεύδειν μηδὲ μικρὸν νυκτερίς.

book 11.1 εἶτ’ οὐ δικαίως ἔστ’ ἀπεψηφισμένος ὑπὸ τῶν θεῶν τῶν δώδεκ’ εἰκότως τ’ Ἔρως; ἐτάραττε κἀκείνους γὰρ ἐμβάλλων

book 11.2 στάσεις, ὅτ’ ἦν μετ’ αὐτῶν· ὡς δὲ λίαν ἦν θρασὺςκαὶ σοβαρός, ἀποκόψαντες αὐτοῦ τὰ πτερά, ἵνα μὴ πέτηται

book 11.3 πρὸς τὸν οὐρανὸν πάλιν, δεῦρ’ αὐτὸν ἐφυγάδευσαν ὡς ἡμᾶς κάτω, τὰς δὲ πτέρυγας ἃς εἶχε τῇ Νίκῃ φορεῖν ἔδοσαν, περιφανὲς

book 11.4 σκῦλον ἀπὸ τῶν

book 11.5 πολεμίων.

book 12-13.1 ἔφη καταβὰς εἰς τὴν δίαιταν τῶν κάτω ἰδεῖν ἑκάστους, διαφέρειν δὲ πάμπολυ

book 12-13.2 τοὺς

book 12-13.3 Πυθαγοριστὰς τῶν νεκρῶν· μόνοισι γὰρ

book 12-13.4 τούτοισι τὸν

book 12-13.5 Πλούτωνα

book 12-13.6 συσσιτεῖν ἔφη

book 12-13 [ln_5][spk_β]δι’ εὐσέβειαν. Β. εὐχερῆ θεὸν λέγεις, εἰ τοῖς ῥύπου μεστοῖσιν ἥδεται ξυνών. [ln_6]. . . . . . . . . . . . ἐσθίουσί τε λάχανά τε καὶ πίνουσιν ἐπὶ τούτοις ὕδωρ· φθεῖρας δὲ καὶ τρίβωνα τήν τ’ ἀλουσίαν[ln_10]οὐδεὶς ἂν ὑπομείνειε τῶν νεωτέρων.

book 14 τοιγαροῦν ἐμοὶ μὲν ἀρτίως ὁ δεσπότης δι’ ἀρετὴν τῶν θηρικλείων εὐκύκλωτον ἀσπίδα, ὑπεραφρίζουσαν, τρυφῶσαν, ἴσον ἴσῳ κεκραμένην, προσφέρων ἔδωκεν, οἶμαι, χρηστότητος εἵνεκα.[ln_5]εἶτ’ ἐλευθέραν ἀφῆκε βαπτίσας ἐρρωμένως.

book 15.1 τὸ τέλος ἅπασίν ἐστι

book 15.2 τοῖς

book 15.3 πτωχοῖσι νύξ· ἐπισκοτεῖ γὰρ

book 15.4 τοῖς κακοῖσι

book 15.5 πανταχοῦ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org